Οἶνος ἦν οὐκ ἐπιχώριος, ἀλλὰ Ἰταλός, οἵου σὺ ἔφης καδίσκους ἐξ Ἐλευσῖνι ἐωνῆσθαι, σφόδρα ἡδὺς καὶ ἄφθονος· ᾠά τε τὰ τρέμοντα ταῦτα ὥσπερ αἱ πυγαί, καὶ χιμαιρίδος ἁπαλῆς τεμάχη καὶ ἀλεκτορίδες οἰκουροί· εἶτα γαλάκτια ποικίλα, τὰ μὲν μελίπηκτα τὰ δ' ἀπὸ ταγήνου – πυτίας μοι δοκεῖ καλοῦσιν αὐτὰ καὶ σκώληκας τὰ πεμμάτια – ὅσα τε ἀγρὸς ἡμῖν ἐαρινῆς ὀπώρας ἐπεδαψιλεύετο. μετὰ δὲ τοῦτο συνεχῶς περιεσόβουν αἱ κύλικες· καὶ προπιεῖν μέτρον ἦν πλὴν τρεῖς φιλοτησίας οὐ τὸ ποσόν. ἐπιεικῶς δέ πως τὰ μὴ προσηναγκασμένα τῶν συμποσίων τῷ συνεχεῖ τὸ πλεῖον ἀναλαμβάνει· ὑπεψεκάζομεν οὖν μικροῖς τισι κυμβίοις ἀλλεπαλλήλοις. καὶ παρῆν Κρουμάτιον ἡ Μεγάρας καταυλοῦσα, ἡ δὲ Σιμμίχη ἐρωτικὰ μέλη πρὸς τὴν ἁρμονίαν ᾖδεν. ἔχαιρον αἱ ἐπὶ τῆς πίδακος Νύμφαι. ἡνίκα δὲ ἀναστᾶσα κατωρχήσατο καὶ τὴν ὀσφῦν ἀνεκίνησεν ἡ Πλαγγών, ὀλίγου ὁ Πὰν ἐδέησεν ἀπὸ τῆς πέτρας ἐπὶ τὴν πυγὴν αὐτῆς ἐξάλλεσθαι. αὐτίκα δὲ ἡμᾶς ἔνδον ἐδόνησεν ἡ μουσικὴ καὶ ὑποβεβρεγμένον εἴχομεν τὸν νοῦν· οἶδας ὅ τι λέγω. τὰς τῶν ἐραστῶν χεῖρας ἐμαλάττομεν τοὺς δακτύλους ἐκ τῶν ἁρμῶν ἠρέμα πως χαλῶσαι, καὶ πρὸς Διονύσῳ ἐπαίζομεν· καί τις ἐφίλησεν ὑπτιάσασα καὶ μασταρίων ἐφῆκεν ἅψασθαι, καὶ οἷον ἀποστραφεῖσα ἀτεχνῶς τοῖς βουβῶσι τὸ κατόπιν τῆς ὀσφύος προσαπέθλιβε. διανίστατο δὲ ἤδη ἡμῶν μὲν τῶν γυναικῶν τὰ πάθη, τῶν ἀνδρῶν δὲ ἐκεῖνα.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416175945/17 UNIVERSITÄT LEIPZIG